ποιοῦντο εἰρήνην, ἐφ᾽ ᾧ τά τε μακρὰ τείχη καὶ τὸν Πειραιᾶ καθελόντας[130], καὶ τὰς ναῦς πλὴν δώδεκα παραδόντας, καὶ τοὺς φυγάδας[131] κατάξαντας, τὸν αὐτὸν ἐχθρὸν καὶ φίλον νομίζοντας[132] Λακεδαιμονίοις, ἕπεσθαι καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, ὅποι ἂν ἡγῶνται. Θηραμένης δὲ καὶ οἱ σὺν αὐτῷ πρέσβεις ἐπανεφέροντο ταῦτα ἐς τὰς Ἀθήνας. Εἰσιόντας δ᾽ αὐτοὺς ὄχλος περιεχεῖτο[133] πολὺς, φοβούμενοι[134], μὴ ἄπρακτοι ἥκοιεν· οὐ γὰρ ἔτι ἐνεχώρει[135] μένειν[136] διὰ τὸ πλῆθος τῶν ἀπολλυμένων τῷ λιμῷ. Τῇ δ᾽ ὑστεραίᾳ ἀπήγγελλον οἱ πρέσβεις, ἐφ᾽ οἷς οἱ Λακεδαιμόνιοι ποιοῖντο[22] τὴν εἰρήνην· προηγόρει[137] δὲ αὐτῶν Θηραμένης, λέγων, ὡς χρὴ πείθεσθαι Λακεδαιμονίοις, καὶ τὰ τείχη περιαιρεῖν. Ἀντειπόντων δέ τινων αὐτῷ, πολλῷ δὲ πλειόνων ξυνεπαινεσάντων, ἔδοξε δέχεσθαι τὴν εἰρήνην. Μετὰ δὲ ταῦτα Λύσανδρός τε κατέπλει ἐς τὸν Πειραιᾶ, καὶ οἱ φυγάδες κατῄεσαν[138], καὶ τὰ τείχη κατέσκαπτον[139] ὑπ᾽ αὐλητρίδων[140] πολλῇ προθυμίᾳ, νομίζοντες ἐκείνην τὴν ἡμέραν τῇ Ἑλλάδι ἄρχειν τῆς ἐλευθερίας[141].

* * *

## ΚΕΦΑΛΑΙΟΝ Γ'.

Τῷ δ᾽ ἐπιόντι ἔτει[142], ἐν ᾧ ἦν Ὀλυμπιὰς[143], ᾗ τὸ στάδιον[144] ἐνίκα Κροκίνας Θετταλὸς, Εὐδίου ἐν Σπάρτῃ ἐφορεύοντος, Πυθοδώρου δ᾽ ἐν Ἀθήναις ἄρχοντος[145], ὃν Ἀθηναῖοι, ὅτι ἐν ὀλιγαρχίᾳ ᾑρέθη, οὐκ ὀνομάζουσιν[146], ἀλλ᾽ ἀναρχίαν τὸν ἐνιαυτὸν καλοῦσιν (ἐγένετο[147] δὲ αὕτη ἡ ὀλιγαρχία ὧδε· ἔδοξε τῷ δήμῳ, τριάκοντα ἄνδρας ἑλέσθαι, οἳ τοὺς πατρίους νόμους ξυγγράψουσι[148] καθ᾽ οὓς πολιτεύσουσι· καὶ ᾑρέθησαν οὗτοι, Πολυάρχης, Κριτίας, Μηλόβιος, Ἱππόλοχος, Εὐκλείδης, Ἱέρων, Μνησίλοχος, Χρέμων, Θηραμένης, Ἀρεσίας, Διοκλῆς, Φαιδρίας, Χαιρέλεως, Ἀναίτιος, Πείσων, Σοφοκλῆς, Ἐρατοσθένης, Χαρικλῆς, Ὀνομακλῆς, Θέογνις, Αἰσχίνης, Θεογένης, Κλεομείδης, Ἐρασίστρατος, Φείδων, Δρακοντίδης, Εὐμάθης, Ἀριστοτέλης, Ἱππόμαχος, Μνησιθείδης)· τούτων δὴ πραχθέντων, ἀπέπλει Λύσανδρος πρὸς Σάμον. Ἆγις δ᾽ ἐκ τῆς Δεκελείας[149] ἀπαγαγὼν τὸ πεζὸν στράτευμα, διέλυσε κατὰ πόλεις ἑκάστους[150].

---

130) Ἐφ᾽ ᾧ τοὺς Ἀθηναίους καθελόντας, κτλ. ἕπεσθαι. Κ. §. 464, ἐφ᾽ ᾧ τε. 131) Οἱ φρονοῦντες τὰ τῶν Σπαρτιατῶν ἦτον φυγάδες ἢ ἐξόριστοι. 132) Φράσις συνήθης εἰς τὰς συνθήκας. 133) Ἐχεῖτο περὶ αὐτούς. 134) Κ. §. 275. 135) Α. Σ. Ἐγχωρῶ, 2).

136) Νὰ περιμένωσι. 137) Ὡμίλει ἐν ὀνόματι ὅλων. 138) Κάτειμι. 139) Οἱ Λάκωνες.

140) Δηλ. ἐν ᾧ αὐλητρίδες ἔπαιζον αὐλούς. Κ. §. 458, Ὑπὸ, ά, 4). 141) Εἶναι ἀρχὴ τῆς ἐλευθερίας εἰς τὴν Ἑλλάδα, διότι οἱ Ἀθ. ἐφέροντο φορτικῶς καὶ τυραννικῶς πρὸς τοὺς συμμάχους. — (Ὁ ἑπόμενος παράγραφος ἀφαιρεῖται ὡς ξένος εἰς τὴν διήγησιν). 142) Τὸ 404 π. Χ. 143) Δηλ. ἤρχετο νέα Ὀλυμπιὰς, ἡ 94. Ἑκάστη Ὀλυμπιὰς διήρκει 4 ἔτη, κατὰ δὲ τὸ πρῶτον ἐτελοῦντο τὰ Ὀλύμπια, ἢ οἱ ἐν Ὀλυμπίᾳ τῆς Ἤλιδος ἀγῶνες.

144) Εἰς τὸν ἀγῶνα τοῦ σταδίου ἢ τοῦ τρεξίματος εἰς τὰ Ὀλύμπια. 145) Ἐπειδὴ εἰς Ἀθήνας οἱ ἄρχοντες ἤλλαζον κατ᾽ ἐνιαυτὸν, διὰ τοῦτο ἐδίδετο εἰς ἕκαστον ἐνιαυτὸν τὸ ὄνομα τοῦ ἄρχοντος τοῦ διὰ τοῦτο ὀνομαζομένου ἐπωνύμου. Οὕτως, ἀντὶ νὰ λέγωσι: τὸ δεῖνα ἔτος, ἔλεγον ἐπὶ τοῦ δεῖνος ἄρχοντος. 146) Δηλ. δὲν δίδουσι τὸ ὄνομά του εἰς τὸ ἔτος.

147) Ἀπὸ τοῦ Ἐγένετο μέχρι τοῦ Μνησιθείδης μακρὰ παρένθεσις. Ὅλα δὲ τὰ προηγούμενα ἀποδίδονται κάτω εἰς τὸ Ἀπέπλει. 148) Νὰ γράψωσι νέους νόμους ἀναλόγους εἰς τὰς περιστάσεις. 149) Φρούριον τῆς Ἀττικῆς εἰς τὸ ὄρος Πάρνηθα. Τὴν σήμερον Τατόϊ.

150) Ἀποδίδεται εἰς τὸ πεζὸν, ὡς περιληπτικόν. — Ἐδῶ ἕπονται τρεῖς παράγραφοι ἀνα-